Τέκε δὲ λαγέτας ἓξ
Ἀρεταῖσι μεμαλότας υἱούς.
Νῦν δ᾽ ἐν αἱμακουρίαις
Ἀγλααῖσι μέμικται,
Ἀλφεοῦ πόρῳ κλιθεὶς,
Τύμβον ἀμφίπολον
Ἔχων πολυξενωτάτῳ πα-
ρὰ βωμῷ. τὸ δὲ κλέος
Τηλόθεν δέδορκε, τᾶν Ὀ-
λυμπιάδων ἐν δρόμοις,
Πέλοπος, ἵνα ταχυ-
τὰς ποδῶν ἐρίζεται,
Ἀκμαί τ᾽ ἰσχύος θρασύπονοι.
Ὁ νικῶν δὲ, λοιπὸν ἀμφὶ βίοτον
Ἔχει μελιτόεσσαν εὐδίαν,

Α. δ'. Κ. ιζ'.

Ἀέθλων γ᾽ ἕνεκεν. τὸ δ᾽ ἀ-
εὶ παράμερον ἐσλὸν,
Ὕπατον ἔρχεται παν-
τὶ βροτῷ. ἐμὲ δὲ στεφανῶσαι
Κεῖνον ἱππικῷ νόμῳ
Αἰοληΐδι μολπᾷ
Χρή. πέποιθα δὲ ξένον
Μή τιν᾽ ἀμφότερα